ὡσεὶ χόρτος ἀνὰ μέσον ὕδατος καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ.
5 [5]οὗτος ἐρεῖ Τοῦ θεοῦ εἰμι, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι
Ιακωβ, καὶ ἕτερος ἐπιγράψει Τοῦ θεοῦ εἰμι, ἐπὶ τῷ ὀνόματι Ισραηλ.
6 [6]Οὕτως λέγει ὁ θεὸς ὁ βασιλεὺς τοῦ Ισραηλ ὁ ῥυσάμενος αὐτὸν
θεὸς σαβαωθ Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ οὐκ
7 ἔστιν θεός. [7]τίς ὥσπερ ἐγώ; στήτω καλεσάτω καὶ ἑτοιμασάτω
μοι ἀφ᾽ οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα
8 πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν. [8]μὴ παρακαλύπτεσθε· οὐκ
ἀπ᾽ ἀρχῆς ἠνωτίσασθε καὶ ἀπήγγειλα ὑμῖν; μάρτυρες ὑμεῖς ἐστε,
9 εἰ ἔστιν θεὸς πλὴν ἐμοῦ· καὶ οὐκ ἦσαν τότε. [9]οἱ πλάσσοντες καὶ
γλύφοντες πάντες μάταιοι οἱ ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ
10 ὠφελήσει αὐτούς· ἀλλὰ αἰσχυνθήσονται [10]πάντες οἱ πλάσσοντες
11 θεὸν καὶ γλύφοντες ἀνωφελῆ, [11]καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράν-
θησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες καὶ στή-
12 τωσαν ἅμα, ἐντραπήτωσαν καὶ αἰσχυνθήτωσαν ἅμα. [12]ὅτι ὤξυνεν
τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸ καὶ ἐν τερέτρῳ ἔτρησεν
αὐτό, εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ· καὶ πει-
13 νάσει καὶ ἀσθενήσει καὶ οὐ μὴ πίῃ ὕδωρ. ἐκλεξάμενος [13]τέκτων
ξύλον ἔστησεν αὐτὸ ἐν μέτρῳ καὶ ἐν κόλλῃ ἐρρύθμισεν αὐτό,
ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς καὶ ὡς ὡραιότητα ἀνθρώπου
14 στῆσαι αὐτὸ ἐν οἴκῳ. [14]ὃ ἔκοψεν ξύλον ἐκ τοῦ δρυμοῦ, ὃ ἐφύτευ-
15 σεν κύριος καὶ ὑετὸς ἐμήκυνεν, [15]ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν·
καὶ λαβὼν ἀπ᾽ αὐτοῦ ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους
ἐπ᾽ αὐτῶν· τὸ δὲ λοιπὸν εἰργάσαντο εἰς θεούς, καὶ προσκυνοῦσιν
16 αὐτούς. [16]οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσαν ἐν πυρὶ καὶ καύσαντες
ἔπεψαν ἄρτους ἐπ᾽ αὐτῶν· καὶ ἐπ᾽ αὐτοῦ κρέας ὀπτήσας ἔφαγεν
καὶ ἐνεπλήσθη· καὶ θερμανθεὶς εἶπεν Ἡδύ μοι ὅτι ἐθερμάνθην καὶ
17 εἶδον πῦρ. [17]τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν καὶ προσ-

4 ωσει AQ] ως BS*LC* (non correctum ab $S^c$, cf. seq.) | χορτος / ανα μεσ. υδ. AQ$S^c$] tr. BS**LC* || 5 βοησ.] ερει A† | επιγραψει(A† -αφει)] + χειρι(*LC* pr. τη) αυτου B*LC* (in *O* sub ※) | fin. AQ$S^c$] + και βοησεται BS*, + βοησεται *LC* || 6 ο θεος > B*†, ο βασ. > S*† | του SA] > BQ*LC* | ο ρυσ.] και ρυσ. B†, και ο ρυσ. *LC*: cf. 𝔐 || 7 στητω AQ*C*] + και BS*L* | καλεσατω(S*† λαλησ.)] + και αναγγειλατω B*LC* (in *O* sub ※) || 8 παρακαλ.] + μηδε πλανασθε B*LC* (in *O* sub ※) | ησαν] ηκουσαν BQ || 9 γλυφ. AQ*L*] pr. οι BS*C* | ματαια BS*† | οι 2° > B† || 10 παντες / οι — γλυφ.] tr. B*C*; παντες ante οι et post ανωφελη hab. *L* || 11 στητωσαν] στησονται A† | εντραπ.] pr. και B || 12 αυτο 1°] + εν ανθραξι *LC* (in *O* sub ※) | ετρησεν AQ$S^c$] εστησεν BS**C*, ερυθμισεν αυτο και εστησεν *L* | ειργασ. 2° SA] pr. και BQ*LC* = 𝔐 || 13 εποιησεν] pr. και B*LC* = 𝔐 | εν οικω > S*† || 14 ο 1° > B | κυριος] pr. ο B*L* || 15 αυτων] -του A†, -τοις *L*, -τω *C* | ειργασατο A | εις θεους] εις > B*C*, και εποιησαν θεους *L* || 16 αυτου 1° > S* | κατεκαυσαν SQ] -σεν BA*LC* | καυσαντες — αυτων SAQ] επι του ημισους αυτου επεψεν εν τοις ανθραξιν αρτους B || 17 εις > A†